θεραπαινίδια γὰρ ἀθλιώτερ' οὐδαμοῦ
οἶμαι τρέφεcθαι. παῖδεc. οὐδὲν ἄλλο πλὴν
κινητιᾶν ἐπίcταται—παῖδεc καλοί—
καὶ διαβαλεῖν ἐὰν ἴδηι τιc. παιδίον.
τουτὶ τὸ κακὸν ⟨τί⟩ ἐcτί; παῖδεc. οὐδὲ εἷc
ἐcτ' ἔνδον. ἠήν. προcτρέχειν τιc φαίνεται.

Κν. τί τῆc θύραc ἅπτει, τριcάθλι', εἰπέ μοι,
ἄνθρωπε;

⟨Γε.⟩ μὴ δάκηιc.

(Κν.) ἐγώ cε νὴ Δία,
καὶ κατέδομαί γε ζῶντα.

(Γε.) μή, πρὸc ⟨τῶν⟩ θεῶν.

(Κν.) ἐμοὶ γάρ ἐcτι cυμβόλαιον, ἀνόcιε,
καὶ cοί τι;

(Γε.) cυμβόλαιον οὐδέν· τοιγαροῦν
προcελήλυθ' οὐ χρέοc c' ἀπαιτῶν οὐδ' ἔχων
κλητῆραc, ἀλλ' αἰτηcόμενοc λεβήτιον.

(Κν.) λεβήτιον;

(Γε.) λεβήτιον.

⟨Κν.⟩ μαcτιγία,
θύειν με βοῦc οἴει ποεῖν τε ταῦθ' ἅπερ
ὑμεῖc ποεῖτε;

(Γε.) οὐδὲ κοχλίαν ἔγωγέ cε.
ἀλλ' εὐτύχει, βέλτιcτε. κόψαι τὴν θύραν
ἐκέλευcαν αἱ γυναῖκεc αἰτῆcαί τε με.
ἐπόηcα τοῦτ'· οὐκ ἔcτι· πάλιν ἀπαγγελῶ
ἐλθὼν ἐκείναιc. ὦ πολυτίμητοι θεοί,
ἔχιc πολιὸc ἄνθρωπόc ἐcτιν οὑτοcί.

(Κν.) ἀνδροφόνα θηρί'· εὐθὺc ὥcπερ πρὸc φίλον
κόπτουcιν. ἂν ἡμῶν προcιόντα τῆι θύραι
λάβω τιν', ἂν μὴ πᾶcι τοῖc ἐν τῶι τόπωι